αἰνῶ μὲν οὖν τοῦδ' ἀνδρὸc ἐcδοχὰc δόμων,
ἐβουλόμην δ' ἂν εἰ καcίγνητόc με cὸc
ἐc εὐτυχοῦνταc ἦγεν εὐτυχῶν δόμουc.
ἴcωc δ' ἂν ἔλθοι· Λοξίου γὰρ ἔμπεδοι
χρηcμοί, βροτῶν δὲ μαντικὴν χαίρειν ἐῶ.

Χο. νῦν ἢ πάροιθε μᾶλλον, Ἠλέκτρα, χαρᾶι
θερμαινόμεcθα καρδίαν· ἴcωc γὰρ ἂν
μόλιc προβαίνουc' ἡ τύχη cταίη καλῶc.

Ηλ. ὦ τλῆμον, εἰδὼc δωμάτων χρείαν cέθεν
τί τούcδ' ἐδέξω μείζοναc cαυτοῦ ξένουc;

Αυ. τί δ'; εἴπερ εἰcὶν ὡc δοκοῦcιν εὐγενεῖc,
οὐκ ἔν τε μικροῖc ἔν τε μὴ cτέρξουc' ὁμῶc;

Ηλ. ἐπεί νυν ἐξήμαρτεc ἐν cμικροῖcιν ὤν,
ἔλθ' ὡc παλαιὸν τροφέ' ἐμοῦ φίλον πατρόc,
ὃc ἀμφὶ ποταμὸν Τάναον Ἀργείαc ὅρουc
τέμνοντα γαίαc Cπαρτιάτιδόc τε γῆc
ποίμναιc ὁμαρτεῖ πόλεοc ἐκβεβλημένοc·
κέλευε δ' †αὐτὸν τόνδ' ἐc δόμουc ἀφιγμένον†
ἐλθεῖν ξένιά τ' ἐc δαῖτα πορcῦναί τινα.
ἡcθήcεταί τοι καὶ προcεύξεται θεοῖc,
ζῶντ' εἰcακούcαc παῖδ' ὃν ἐκcώιζει ποτέ.
οὐ γὰρ πατρώιων ἐκ δόμων μητρὸc πάρα
λάβοιμεν ἄν τι· πικρὰ δ' ἀγγείλαιμεν ἄν,
εἰ ζῶντ' Ὀρέcτην ἡ τάλαιν' αἴcθοιτ' ἔτι.

Αυ. ἀλλ', εἰ δοκεῖ cοι, τούcδ' ἀπαγγελῶ λόγουc
γέροντι· χώρει δ' ἐc δόμουc ὅcον τάχοc
καὶ τἄνδον ἐξάρτυε. πολλά τοι γυνὴ